ἐκεῖ προσμένοντος αἰδεσιμωτάτου καθηγουμένου κυρίου Μητροφάνους·[1] καὶ εἴ τι ἄλλο τῶν ἐμῶν εὑρεθείη παρά τινι, ἐχέτω ἄδειαν καὶ ἐξουσίαν ὁ αὐτός μου αὐτάδελφος συναγαγεῖν τε αὐτὰ καὶ ἐν τῇ αὐτῇ καθιερῶσαι μονῇ· εἰ δέ τινες περὶ αὐτὸν δυστρόπως ἑαυτοὺς ἐν τῇ τῶν βιβλίων ἀπολήψει διάθοιντο καὶ μὴ ῥᾷστα καὶ χωρίς τινος ἀντιλογίας τὴν αὐτῶν τε καὶ ἄλλων οἱωνοῦν ἡμετέρων ἀπόδοσιν ποιήσαιεν, ὑπὸ τῷ τοῦ Θεοῦ βάρει καὶ ταῖς τῶν τιη΄ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ ἀραῖς ὑποπεπτέτωσάν τε καὶ ὑποβεβλήσθωσαν, ὀφείλοντος πρὸς τούτοις τοῦ ἐν τῇ προειρημένῃ μονῇ εὑρισκομένου ἢ καὶ εὑρεθησομένου καθηγουμένου διά γε τὰ εἰρημένα τῷ αὐτῷ αὐταδέλφῳ μου Μελετίῳ[2], τὰ ὅσα δ' ἀνῆκεν εἰς τὴν ἑαυτοῦ διατροφήν τε καὶ σκέπασμα [δίδοσθαι] ἄχρι τῆς ἑαυτοῦ ζωῆς, σωφρόνως μέντοι καὶ τούτων προνοουμένων καὶ ᾗ μοναχοῖς προσῆκε τοῖς τὸν σταυρὸν τοῦ Χριστοῦ γνησίως ἐφ' ἑαυτοὺς ἀραμένοις· ὃ δὴ καὶ ἐν τῇ διακρίσει τοῦ αὐτοῦ ἡγουμένου, εἴ τε καὶ ἄλλου τάχα, τοῦ μετ' ἐκείνου, ἐν ἁγίῳ πνεύματι παραλείπω. Ταῦτα μὲν ἐγὼ διατάττομαι, δι' ἃ καὶ ὑπογράφω εἰς τὸ εὐδηλοτέραν [εἶναι] τῆς ἐμῆς γνώμης [τὴν] σύστασιν· παρακαλῶ δὲ ἐν Θεῷ αὐτόν τε τὸν κατὰ τὸ παρὸν εὑρισκόμενον καθηγούμενον κύριον Μητροφάνην, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφόν, ἅτε δὴ ἐγνωκὼς αὐτὸν εἰλικρινῶς τε καὶ ἀληθῶς ἠγαπηκότα με, ἐμμεῖναί τε τοῖς παρὰ τῆς ἡμετέρας ταπεινότητος διατεταγμένοις καὶ τῆς ἐμῆς ψυχῆς διαμνημονεύειν διαπαντός, αὐτόν τε τὸν ἐμὸν αὐτάδελφον κύριον Μελέτιον τὸν Μαργούνιον ἀγαπᾶν τε ὡς ἕτερον ἐμὲ καὶ τῶν περὶ τὴν αὐτοῦ σωτηρίαν φερόντων λόγῳ τε καὶ ἔργῳ ἐπιμελεῖσθαι καὶ ὁποίαις ἂν ἔχῃ νουθεσίαις τε καὶ παραινέσεσιν ἐπὶ τὴν τοῦ καλοῦ ἐργασίαν παροξύνειν διαπαντός».

Ἀ. Παπαδόπουλος-Κεραμεύς.

## 2. БИБЛІОГРАФІЯ.

### ГРЕЦІЯ И ТУРЦІЯ.

**Ἐπαμ. Ἰ. Σταματιάδου**, Ἰκαριακά, ἤτοι ἱστορία καὶ περιγραφὴ τῆς νήσου Ἰκαρίας. Ἐν Σάμῳ 1893, σελίδες 161 σχήματος 8-ου.

Τὸ πόνημα τοῦτο τοῦ λογιωτάτου Σταματιάδου, ᾧ τῶν ἑλληνικῶν ἀρχαιοτήτων καὶ ἱστοριῶν οἱ γνῶσται χρησιμωτάτας ὀφείλουσιν ἐκ πολλοῦ συγγραφάς, περιγράφει καταλεπτῶς τὴν Ἰκάρου νῆσον, τὴν νῦν ἑλληνιστὶ Νικαριὰν ὀνομαζομένην, ἣ πολιτικῶς μὲν ὑποτάσσεται τοῖς Τούρκοις, ἐκκλησιαστικῶς δὲ τῷ μητροπολίτῃ τῆς αὐτονόμου νήσου τῶν Σαμίων· διῄρηται δὲ εἰς πεντεκαίδεκα κεφάλαια, ταύτας ἔχοντα τὰς ἐπιγραφάς· α΄) Γεωγραφικὴ θέσις καὶ ὄρη Ἰκαρίας, β΄) Ἀρχαῖα ὀνόματα τῆς νήσου καὶ πόλεις αὐτῆς, γ΄) Ἱστορία τῆς Ἰκαρίας, δ΄) Θρησκεία τῶν ἀρχαίων Ἰκαρίων καὶ διάδοσις τοῦ χριστιανισμοῦ

---

1 Οὗτός ἐστι πιθανῶς ὁ Μητροφάνης, ᾧπερ ὁ Μαργούνιος ἔτει 1584-ῳ γράμμα ἔγραψε τύποις ἀνέκδοτον. Legrand, Bibl. Hell., II, σ. XXXV.

2 Παρέλειψα, φαίνεται, κατὰ τὴν ἀντιγραφὴν φράσιν ὅλην, ἧς ἡ ἔννοια τοιαύτη· «προνοεῖσθαι μὲν τούτου»· καὶ ἄλλα τινὰ λεξείδια λείπουσι, ἅπερ εἰκαστικῶς ἀνεπλήρωσα, προσθεὶς αὐτὰ ἐν ἀγκύλαις.

ἐν Ἰκαρίᾳ, ε') Προϊόντα τῆς Ἰκαρίας, ς') Νομίσματα τῶν ἀρχαίων Ἰκαρίων, ζ') Ἡ καθ' ἡμᾶς Ἰκαρία, η') Διοίκησις τῆς νήσου σημερινή, θ') Μοναστήρια ταύτης, ι') Βίος καὶ χαρακτὴρ τῶν Ἰκαρίων, ια') Ἤθη καὶ ἔθιμα τῶν αὐτῶν, ιβ') Διάλεκτος αὐτῶν, ιγ') Ἄσματα, ιδ') Παιδιαὶ καὶ ιε') Ἀρχαῖα ἔγγραφα Ἰκαρίων. Ὁ συγγραφεὺς ἀποκατέστησε τὸ βιβλίον χρήσιμον διά τε τὴν συναρμογὴν τῶν ἐσπαρμένων ἐν πολλοῖς βιβλίοις εἰδήσεων περὶ τῆς νήσου καὶ διὰ τὰς περιχωρηθείσας ἐν αὐτῷ πρωτοφανεῖς ὕλας. Ἐν τῇ 15-ῃ σελίδι παρατίθεται τὸ πῶς οἱ Ἰκάριοι σῴζουσι νῦν τὸν περὶ Ἰκάρου μῦθον· ἐν ἑτέραις δὲ σελίσι (21—22, 41 καὶ 161) δίδωσι τὸ κείμενον τῶν ἐν αὐτῇ τῇ νήσῳ παρ' αὐτοῦ εὑρεθεισῶν ἀρχαίων ἐπιγραφῶν· ἀγνοεῖ δὲ ὅτι τινὰς τούτων προεξέδωκαν ἕτεροι τὴν νῆσον περιοδεύσαντες, οἷον τὸ ἐπιτύμβιον ἐπίγραμμα τὸ διὰ τὸν Φιλοκτέα Δημητρίου (G. Kaibel, Epigrammata graeca 1878, σ. 112. Anthol. Palat. τ. III, 1890, σ. 177)· ἀλλ' οὐχ ἧττον ἐμφανίζει καί τινας ἀγνώστους ἄλλοθεν ἐπιγραφάς, οἷον τὴν μνημονεύουσαν εὐκτηρίου τινὸς τῶν Ἀρχαγγέλων, ὅπερ ἱδρύθη ἢ ἀνεκαινίσθη ἐπὶ Σχολαστικίου, ἐπισκόπου Ἰκαρίας. Σημειώσεως ὡσαύτως ἄξιον, ὅτι τὸ λείψανον τῆς ἁγίας Θεοκτίστης τῆς Λεσβίας ὑπάρχει νῦν ἐκ παλαιοῦ ἐν τῇ νήσῳ Ἰκαρίᾳ, ἐν μοναστηρίῳ φέροντι τὸ ὄνομα αὐτῆς ταύτης τῆς Θεοκτίστης, (σ. 68 κἑ). Τῶν δὲ ἀπὸ τῆς 153-ης σελίδος ἐμπεριεχομένων ἐγγράφων ἀρχαιότερον μέν ἐστι τὸ πρῶτον, ὅπερ ἐγράφη ἔτει 1601-ῳ, μεταγενέστερον δὲ τὸ γεγραμμένον ἔτει 1772-ῳ· εἰσὶ μέντοι πάντα ταῦτα χρήσιμα διὰ μελέτας γλωσσικὰς περὶ τῆς νῦν ἑλληνικῆς γλώσσης, μάλιστα δὲ τῆς διαλέκτου τῶν Ἰκαρίων, ὧν ὁ Σταματιάδης παρατίθεται καὶ τὰς λέξεις καὶ τὰ ᾄσματα, γενόμενος οὕτω πρόξενος ὠφελείας εἰς τοὺς ἐκμελετῶντας τὰ ἰκαρικὰ γλωσσικὰ μελετήματα τοῦ φιλολόγου Χατζιδάκη [Indogerm. Forschungen 1892, II, σ. 371—414].

**Ἰωάννης Ν. Πουλιανὸς ὁ Ἰκάριος,** Ἡ νῆσος Ἰκαρία [Ἀμάλθεια Σμύρνης, ἀριθ. 5430, ἔτους 1894].

Μικρὰ πραγματεία, δι' ἧς ὁ Πουλιανὸς ἐλέγχει τινὰ τεμάχη τῶν Ἰκαριακῶν τοῦ Σταματιάδου, μετατετυπωμένα ἔν τισι φύλλοις τῆς Ἀμαλθείας [ἀριθ. 5376, 5379, 5380]. Τὸ βιβλίον ὅλον τῶν Ἰκαριακῶν ἐλλείπει τῷ Πουλιανῷ· προαγγέλλει μέντοι, ὅτι μετὰ τὴν ἀπόκτησιν αὐτοῦ γράψει μακρὰν ἐπίκρισιν. Ἐν ταύτῃ δὲ τῇ προμελέτῃ πραγματεύεται τὸν Σταματιάδην ἐλέγχων περί τινων φωνητικῶν ἀποριῶν· οἷον, ὅτι τὸ γράμμα φῖ προφέρουσιν οἱ τῆς νήσου κάτοικοι, "μόλις πλησιάζοντες τοὺς ὀδόντας τῆς ἄνω σιαγόνος εἰς τὰ χείλη τῆς κάτω"· λέγει δὲ καὶ περὶ τοῦ βῖ, ὅτι προφέρουσί πως αὐτό, οὐ προσεγγίζοντες τοὺς ὀδόντας τοῖς χείλεσι· καὶ τὸ μῖ δ' οὐ παραλείπουσιν ὅλως, εἴτ' ἐν ἀρχῇ λέξεως ὑπάρχει τοῦτο, εἴτ' ἐν τῷ μέσῳ δύο φωνηέντων.

**Ἐπαμ. Ἰ. Σταματιάδης,** Ἡ νῆσος Ἰκαρία [Ἀμάλθεια, 1894, ἀριθ. 5436].

Ἀπόκρισις πρὸς Ἰωάννην τὸν Πουλιανόν, δι' ἧς ὁ Σταματιάδης ὑποστηρίζει τὰ παρ' αὐτοῦ γεγραμμένα ἐν τοῖς Ἰκαρικοῖς, ἃ λέγει διὰ φιλοτιμίαν μᾶλλον ἀπήρεσαν τοῖς ἐν Ἰκαρίᾳ καὶ τῷ Πουλιανῷ· ὑποστηρίζει δὲ μάλιστα τὸ περὶ βρυκολάκων ἰκαρικὸν ἔθιμον, ἀντεχόμενος τῆς προτέρας αὐτοῦ περιγραφῆς [Ἰκαριακῶν σελ. 115—119]· ὑποστηρίζει δὲ καὶ ὅσα πρότερον ἐν τοῖς Ἰκαριακοῖς ἔγραψε περὶ τῆς ἐκθλίψεως τῶν συμφώνων ἐν τῇ γλώσσῃ τῶν Ἰκαρίων. Ἡ

ἔρις ὅμως τοῦ Πουλιανοῦ περὶ τούτου τοῦ ζητήματος ἀπεδείχθη περιττή, τοῦ Χατζιδάκη καλῶς ἐξηγήσαντος ἤδη τὰ περὶ αὐτοῦ [Indogerm. Forschungen II, σ. 383—386].

Ἠλίας Ἀ. Τσιτσέλης, Ἔθιμα ἐν Κεφαλληνίᾳ [Παρνασσός, τ. XV, σ. 280—297, Ἡ μεγάλη ἑβδομὰς καὶ τὸ πάσχα. Σελ. 921—925, Ἡ μεγάλη σαρακοστή]. — Ὁ συγγραφεύς, εἰ καὶ περιγράφει τὰ νῦν ἔθιμα τῶν Κεφαλλήνων, διὰ τὴν πολυμάθειαν ὅμως αὐτοῦ κατέστησε τὸ θέμα τῶν τοιούτων ἐθίμων χρήσιμον καὶ τοῖς ἀσχολουμένοις περὶ τὴν ἱστορίαν τοῦ ἰδιωτικοῦ καὶ τοῦ θρησκευτικοῦ βίου τῶν Ἑλλήνων ἐπὶ τῆς βυζαντινῆς ἐποχῆς· ἡ δὲ περιγραφὴ τῶν ἐθίμων κατά τε τὴν μεγάλην ἑβδομάδα καὶ τὸ πάσχα προσφέρει περιέργους ἐθιμοταξίας ἐκκλησιαστικάς, δυναμένας ἴσως ἑρμηνεῦσαι διατάξεις παλαιῶν ἐκκλησιαστικῶν τυπικῶν ἐν ἀντιγράφοις εὑρισκομένων.

Γ. Ἰακ. Καλαϊσάκης, Παντοτεινὸν καλαντάριον, βροντολόγιον καὶ σεισμολόγιον [Παρνασσός, τ. XV, σ. 315—319, 795- 800]. — Ἐν τοῖς παλαιοῖς ἀντιγράφοις τῆς βιβλιοθήκης τοῦ ἐν Κρήτῃ Καλαϊσάκη εὑρέθη κῶδιξ ἐμπεριέχων πρακτικὸν καλαντάριον, ἀρχόμενον ἀπὸ τοῦ 1722-ου· λήγει δ' εἰς τὸ 1945-ον ἔτος. Ὁ κάτοχος ἐκδίδωσι νῦν αὐτοῦ τεμάχια κατ' ἐκλογήν. Ἐπιγραφὴ τοῦ κώδικος· «Καλλαντάριον παντοτεινὸν σὺν θεῷ, περιέχον τοὺς εἰκοσιοκτὼ κύκλους τοῦ ἡλίου μετὰ τῶν ἑπτὰ πλανητῶν καὶ τοῦ βροντολογίου, σεληνοδρομίου τε καὶ σεισμολογίου, καὶ τῶν ἑπτὰ ἡμερῶν τῆς ἑβδομάδος, τὸ τί φανερώνουσιν ἑκάστῳ ἐνιαυτῷ, ἀντιγραφθὲν ἐκ τοῦ τυπωμένου, μεταγλωττισθέντος ἐκ τῆς οὐγγαρικῆς, ἤτοι σλαβουνικῆς καὶ ἰλλυρικῆς διαλέκτου παρά τινος ἀνωνύμου εἰς χρῆσιν τοῦ φιλαναγνώστου».

Β. Ἀ. Μυστακίδου, Καππαδοκικά. Περιγραφὴ γεωγραφικὴ στατιστικὴ ἐμπορικὴ ἐκκλησιαστικὴ τῆς μητροπόλεως Καισαρείας [Παρνασσός, τ. XV, 1893, σ. 368—379, 445—458, 600—615].—Τῆς περιγραφῆς ταύτης ἡ ἀξία μεγάλη κατὰ τοῦτο, ὅτι περιέχονται ἐν αὐτῇ γνώσεις ἀκριβεῖς ἐξ αὐτοψίας περὶ τόπων καππαδοκικῶν, ἐν οἷς ὁ χριστιανισμὸς ἤκμασε τὸ παλαιόν, οὐχ εὑρισκόμεναι προχείρως ἐν ἑτέραις περιγραφαῖς. Πρῶτον μὲν οὖν ὁ Μυστακίδης ἀπαριθμεῖ τὰ προτετυπωμένα ἑλληνιστὶ τοπογραφικὰ βιβλία, τὰ μερικῶς ἢ καθολικῶς ἀφορῶντα πρὸς τὴν γεωγραφίαν ἢ τὴν ἱστορίαν τῆς Καππαδοκίας· εἶτα δὲ συντόμως μὲν ἀλλὰ σαφῶς τὴν χώραν αὐτὴν περιγράφει· ἐπειδὴ δὲ σκοπὸς αὐτοῦ γνωρίσαι κυρίως τὴν ἐπαρχίαν τῆς μητροπόλεως Καισαρείας, ἄρχεται τῆς ἀναγραφῆς τῶν ὀρέων αὐτῆς, καί φησιν ὅτι τὸ σημαντικώτερον αὐτῶν ἐστι τὸ μεταξὺ Καισαρείας τῆς πόλεως καὶ τοῦ πολιχνίου Μουταλάσκης ὑψούμενον, ὃ τὸ πάλαι μὲν Δίδυμον ἐκαλεῖτο, νῦν δὲ τουρκιστὶ μὲν Ἀλῆ-δάγ, ἑλληνιστὶ δὲ «Βουνὸ τοῦ ἁγίου Βασιλείου»· μετὰ δὲ τοῦτο συναριθμεῖ τοὺς ποταμούς, παρὰ τὰς ἀρχαίας αὐτῶν ὀνομασίας προστιθέμενος τὰς σημερινάς· ἔνθα σημειώσεως ἄξιον, ὅτι τὸν Ὀνοπνίκτην ποταμὸν [Theophan. Contin. σ. 280. Κεδρην. II, σ. 213] ταὐτίζει τῷ δυτικῷ βραχίονι τοῦ Σάρου, καλουμένου τανῦν Σαμάντα-σοῦ καὶ τοὺς νομοὺς διαχωρίζοντι τῆς Ἀγκύρας καὶ Σεβαστείας· ἀναγράφει δὲ καὶ τὰς λίμνας, τά τε προϊόντα τῆς χώρας καὶ τὰ μεταλλεῖα ταύτης· μεθ' ὃ περιγράφει τὸν τρόπον, καθ' ὃν οἱ κάτοικοι διαιτῶνται· ἐξ ἱστορικῆς δ' ἀπόψεως ἀπαριθμεῖ τὰς παλαιὰς ἐπαρχίας τῆς Καππαδοκίας, ἀρξάμενος ἀπὸ

τῆς ἐπὶ Κύρου περσικῆς ἐποχῆς. Λέγει δέ τινα καὶ περὶ τῆς παλαιᾶς τῶν Καππαδόκων γλώσσης εὐσύνοπτα, καὶ περὶ τῆς νῦν ἐκεῖ λαλουμένης ἑλληνικῆς διαλέκτου, καὶ περὶ τῆς ἐκπαιδευτικῆς τῶν ὀρθοδόξων καταστάσεως, περί τε τῶν ἐθίμων αὐτῶν καὶ περὶ ἄλλων τινῶν πραγμάτων, οἷον μέτρων σταθμῶν καὶ λοιπῶν· μεθ' ἃ τὴν χώραν ἐξετάζει διοικητικῶς ἐξ ἐκκλησιαστικῆς ἀπόψεως, ἀπαριθμῶν τὰς κώμας καὶ τὰς πολίχνας, ἐν αἷς οἰκοῦσιν ὀρθόδοξοι χριστιανοί, τὸν μητροπολίτην Καισαρείας πνευματικὸν αὐτῶν πατέρα γινώσκοντες· καὶ τῆς λεπτομεροῦς ἐκείνων περιγραφῆς ἅπτεται, ἀρξάμενος ἀπὸ τῆς πόλεως Καισαρείας, ἐν ᾗ ὁ μητροπολίτης αὐτὸς ἑδρεύει. Τὴν πόλιν ταύτην κοσμοῦσιν οἰκίαι 9600, ὧν 6000 οἰκοῦσι μουσουλμᾶνοι, 2830 ἀρμένιοι, 190 προτεστάνται, 180 παπισταὶ καὶ τετρακοσίας ὀρθόδοξοι τετρακισχίλιοι.

Ἰωάννης Δ. Ἀφθονίδης, Ἀκριβὴς τοποθέτησις πόλεών τινων τῆς Μακεδονίας [Παρνασσός, τ. XV, 1893, σ. 461—464]. — Ὁ συγγραφεὺς ἐξ ὀνομάτων τὰς θέσεις ὁρίζει δι' ὀλίγων τινῶν λέξεων, τὰ Τρίμουλα, τὴν Μοσυνόπολιν, τὸ Δημητρίτζη, τὸ Βρανόκαστρον, τὸ Δρυάνοβον ἢ Δράνοβα, καὶ τὸ Σύμβολον καὶ τὴν Νεάπολιν· ἀλλὰ τὸ ποῦ τινα τῶν ὀνομάτων τούτων εἶδε μνημονευόμενα ὁ συγγραφεὺς ἀπεσιώπησεν. Κατὰ τὸν Ἀφθονίδην ὁ μεταξὺ τοῦ λιμένος Ἐλευθερουπόλεως καὶ τοῦ ῥωσικοῦ Ταρσανᾶ τόπος, ὅστις ἐκαλεῖτο τὸ πάλαι Οἰσύμη, τανῦν ὀνομάζεται Τρίμουλα· τὴν Μοσυνόπολιν ταὐτίζει τῇ κώμῃ Μεσορώπῃ ἢ Μουσουρώπῃ, ἣν οἱ πρεσβύτεροι τῶν κατοίκων ἐκ παραδόσεως ὀνομάζουσι Μοσυρόπολι ἢ Μισυρόπολι· κεῖται δὲ εἰς τριῶν ὡρῶν ἀπόστασιν τοῦ Πραβίου· τὸ δὲ Δημητρίτζη, ἔνθα ἔτει 1185 ῳ Ἀλέξιος ὁ Βρανᾶς διέφθειρε τοὺς Νορμανούς, κεῖται ΝΔ τῆς παρὰ τὰς Σέρρας γεφύρας τοῦ ποταμοῦ Στρυμόνος, ἔνθα χωρίον ὑπάρχει Δημητρίτζη τανῦν ὡσαύτως ὀνομαζόμενον. Τὸ δὲ Βρανόκαστρον, ἀπέχον τοῦ Πραβίου δίωρον ὅλον, βυζαντινόν ἐστι φρούριον· ὠνομάσθη δ' οὕτω, κατὰ τὸν Ἀφθονίδην, διὰ τὸν κτίτορα Βρανᾶν. Ἐγὼ τὸ Βρανόκαστρον εἶδον ἔτει 1885-ῳ καὶ πείθομαι τῷ Ἀφθονίδῃ.

Π. Βεργωτῆς, Ἡ πρόθεσις «ἀπό» [Παρνασσός, τ. XV, 1893, σ. 526—540]. — Πεφροντισμένη πραγματεία περί τε τῆς χρήσεως καὶ τῆς συντάξεως τῆς προθέσεως ταύτης παρὰ τοῖς νῦν Ἕλλησι μετὰ πτώσεως αἰτιατικῆς. Τῆς γενικῆς πτώσεως ἡ χρῆσίς ἐστι τοσούτῳ σπανιωτάτη, ὥστε μόλις δεκάδα παραδειγμάτων εὗρεν αὐτῆς ὁ Βεργωτῆς. Ἡ κατανίκησις τῆς αἰτιατικῆς πτώσεως ἐγένετο, κατὰ τὸν συγγραφέα, τῷ νόμῳ τῆς ἀναλογίας· ἐπειδὴ τὸ παλαιὸν ἔλεγον «εἰς τὴν οἰκίαν», ἑπόμενον ἦν ἐξ ἀναλογίας οἱ μεταγενέστεροι λέγειν «ἀπὸ τὴν οἰκίαν»· καὶ ὡς οὐχ ἐβαρβάριζον ἐκεῖνοι ῥήματα πολλῷ πρότερον συντεταγμένα γενικῇ ἢ δοτικῇ πτώσει τῇ πτώσει τῆς αἰτιατικῆς ἐξ ἀναλογίας συντάττοντες, οὕτως οὐδ' οἱ σήμερον Ἕλληνες βαρβαρίζουσιν, ἐξ ἀναλογίας ὡσαύτως τὴν ἀπὸ διαλεγόμενοι συντάσσοντες αἰτιατικῇ πτώσει. Τῆς βεργωτείου μελέτης τὸ ὑλικόν ἐστιν ἄφθονον διὰ τὴν ἐν διαλόγοις σημερινὴν γλῶσσαν· ἐλλείπει δ' αὐτῇ τὸ ἱστορικὸν ὑλικόν, τουτέστιν ἡ ὕλη ἡ δεικνύουσα τὸ πότε πρῶτον ἐν τοῖς σωζομένοις παλαιοῖς ἐγγράφοις ἡ πρόθεσις ἀπὸ φαίνεται μεταλλάξασα τὴν θέσιν τῆς γενικῆς πρὸς τὴν τῆς αἰτιατικῆς πτώσεως, καὶ τὸ πῶς οὕτω τὸ πρᾶγμα προώδευσεν, ὥστε τὴν γενικὴν πτῶσιν εἶναι σήμερον ἐξαίρεσιν σπανιωτάτην· ταύτην ὅμως

τὴν ἔλλειψιν προανεπλήρωσεν ὁ Χατζιδάκης ἐπαρκῶς [Einleitung in die neugr. Grammatik, σ. 224].

Κ. **Νεστορίδης**, Παροιμίαι καὶ παροιμιώδεις φράσεις ἀνέκδοτοι [Παρνασσός, τ. XV, 1893, σ. 469—777, 878—880, 946—955. τ. XVI, 1893, σ. 159—160].—Τὸ ὅλον 153 παροιμίας μέχρι σήμερον ἀνέγνωμεν συλλεγείσας ἐν τῷ βασιλείῳ τῆς Ἑλλάδος· καὶ αὗται, μετὰ τῶν ἄλλων, τῶν ὑπὸ πολλῶν ἑτέρων ἐλλογίμων Ἑλλήνων ἐπιμελῶς προσυναθροισθεισῶν, ἑρμηνεύουσι παλαιοτέρας τινὰς ἑλληνικὰς ἐκφράσεις καὶ παροιμίας, ἐν συγγράμμασι τῶν βυζαντινῶν χρόνων ἀπαντώσας· ἅπασα δὲ ἡ συλλογὴ τοῦ Νεστορίδου, κατὰ τὴν ἐν ἀρχῇ σημείωσιν, ἀριθμεῖ 6300 παροιμίας.

Ἀλέξ. **Καράλης**, Χίος καὶ Χῖοι [Παρνασσός, τ. XV, 1893, σ. 561—577].—Περιέχει τινὰς προχείρους εἰδήσεις περί τινων συγγραφέων ἐκ Χίου μεταγενεστέρων, οἷον Βαρδαλάχου, Βάμβα καὶ Κοκκινάκη.

Γ. Ἰακ. **Καλαϊσάκης**, Περὶ τῆς ἐν Κρήτῃ Λάππας ἢ Ἀργυροπόλεως [Παρνασσός, τ. XV, 1893, σ. 615—621].—Τὴν κώμην Ἀργυρόπολιν σχετίζει ὁ Καλαϊσάκης πρὸς τὴν οἰκογένειαν τῶν Ἀργυροπούλων, οἷς ἐδόθη μέρος τῆς Κρήτης ἔτει 1185-ῳ.

**Ἀμαλία Παπασταύρου**, Ὁδοιπορικαὶ ἀναμνήσεις [Παρνασσός, τ. XV, 1893, σ. 29—33, τὰ Τέμπη. Σελ. 519—554, τὰ Μετέωρα].

Χ. Ε. **Κανελλόπουλος**, Αἱ ἐν Τήνῳ δυτικαὶ μοναὶ [Παρνασσός, τ. XV, σ. 711—719].—Πληροφορίαι τινὲς περὶ τῶν ἐν τῇ νήσῳ ταύτῃ μοναστηρίων τῶν Λατίνων.

Μ. **Χρυσοχόος**, Ἡ Πρασιὰς λίμνη (Παρνασσός, τ. XV, 1893, σ. 721—736, 801—813).—Ἐν τούτῳ τῷ μελετήματι συνεξετάζονται αἱ περὶ τῆς τοποθεσίας τῆς Πρασιάδος λίμνης ὑπάρχουσαι γνῶμαι συγγραφέων τινῶν. Ὁ συγγραφεὺς περιγράφει τὰ τενάγη τῶν Φιλίππων, πόλεως ἀρχαίας ἐν Μακεδονίᾳ, τὴν κοιλάδα τοῦ ποταμοῦ Στρυμόνος καὶ τὴν λίμνην τῆς Δοϊράνης, ἣν καὶ ταὐτίζει τῇ παρὰ τῷ Ἡροδότῳ μνημονευομένῃ Πρασιάδι λίμνῃ· προστίθησι δὲ καὶ χάρτην τῆς νοτίου Μακεδονίας καὶ ἄλλους τινὰς πίνακας. Τὸ μελέτημα τοῦ Χρυσοχόου συμφέρει τοῖς βυζαντινολόγοις κατὰ τοῦτο, ὅτι περιέχει περὶ τόπων μακεδονικῶν ὀνοματικὰς εἰδήσεις, αἵτινες χρησιμεύουσιν ἔσθ' ὅτε πρὸς ἑρμηνείαν τοπικῶν ὀνομάτων εὑρισκομένων ἐν παλαιοῖς ἐγγράφοις.

**Διονύσιος Ἠλιακόπουλος**, Νεκρικαὶ τελεταὶ παρὰ τοῖς ἀρχαίοις καὶ τοῖς νεωτέροις Ἕλλησι [Παρνασσός, τ. XV, 1893, σ. 841—855].—Πληροφορίαι τινὲς περιέχονται ἐν τούτῳ τῷ ἄρθρῳ περὶ τῶν σημερινῶν νεκρικῶν ἐθίμων, ἅτινα τὴν καταγωγὴν ἔχουσιν ἐκ τοῦ παλαιοῦ χριστιανικοῦ βίου. Ὁ συγγραφεὺς ὅμως αὐτοῦ συγκρίνει ταῦτα πρὸς τὰ νεκρικὰ τῶν παλαιῶν ἐθνικῶν Ἑλλήνων ἔθιμα.

**Κωστῆς Πασσαγιάννης**, Μανιάτικα παραμύθια. Τοῦ Φονιᾶ τὸ Λαγκάδι [Παρνασσός, τ. XV, 1893, σ. 103—111].—Τὸ λαγκάδι, περὶ οὗ τὸ παραμύθιον, εὑρίσκεται ἐν τῇ Μάνῃ, κείμενον μεταξὺ τῆς Πλάτζας, τῆς Στούπας καὶ τοῦ Καλαμιτζίου.

Ἀλέξ. Γ. Δευτεραῖος, Ἀλβανικὰ καὶ Μαυροβουνιωτικὰ περίεργα [Παρνασσός, τ. XV, 1893, σ. 866—878].—Περὶ ἐθίμων τινῶν εἰδήσεις.

Δ. Βικέλας, Ἡ βυζαντινὴ φιλολογία [Παρνασσός, τ. XV, 1893, σ. 17—19, 81—87].—Σκέψεις περὶ τῆς φιλολογίας ταύτης ἐξ ἀναγνώσεως τοῦ βιβλίου τοῦ σοφοῦ Krumbacher: Gesch. der byz. Litteratur.

Δ. Κ. Καμπούρογλους, Ἐπιστολαὶ ἀνέκδοτοι περὶ τοῦ ἰδιωτικοῦ βίου τοῦ Κοραῆ [Παρνασσός, τ. XIV, 1892, σ. 649—662. 714—723. τ. XV, σ. 241—252]. — Ἐπιστολαί τινες, ὧν τὰς δύο πρώτας οὐκ εἶδον, ὡς εὑρισκομένας ἐν προτέρῳ τεύχει τοῦ Παρνασσοῦ, ὅπερ ἀγνοῶ. Αἱ ἐπιστολαὶ δὲ αὗται, πεμφθεῖσαι ἐξ Ἀμστελοδάμου πρὸς τὸν ἐν Σμύρνῃ Εὐστάθιον τοῦ Θωμᾶ, περιστρέφονται εἰς βιωτικὰ ἐπεισόδια τοῦ Κοραῆ νεάζοντος τὴν ἡλικίαν (1771—1774).

Ν. Γ. Πολίτης, Παλαιογραφικὴ σταχυολογία ἐκ τῶν μαγικῶν βιβλίων [Παρνασσός, τ. XVI, 1893, σ. 174—190. Byzantinische Zeitschrift I, σ. 555—571].

Γ. Τυπάλδος Κοζάκης, Τὰ στοιχεῖα τῆς βυζαντινῆς τέχνης [Παρνασσός, τ. XV, 1893, σ. 74—78].

Ἀνδρέας Μαρούλης, Ξορκιά [Παρνασσός, τ. XV, 1893, σ. 556—558].—Ἐξορκισμοὶ νεοελληνικοὶ κατὰ διαφόρων σωματικῶν παθήσεων, ἐπεξηγοῦντες τὴν σημασίαν παλαιῶν ἐξορκιστικῶν εὐχῶν, εὑρισκομένων ἐν ἀντιγράφοις εὐχολογίων.

Σπυρίδων Δε-Βιάζης, Ἡ ἑβραϊκὴ κοινότης Ζακύνθου ἐπὶ Ἑνετοκρατίας [Παρνασσός, τ. XIV, 1892, σ. 662—670, 723—735]. —Συνέχεια μεμελημένης διατριβῆς ἱστορικῆς, ἧς ἀγνοῶ τὴν ἀρχήν, ὡς εὑρισκομένην ἐν προτέρῳ φυλλαδίῳ τοῦ Παρνασσοῦ, οὐχ ὑπάρχοντι παρ' ἐμοί. Ὁ συγγραφεὺς ἤντλησε τὸ θέμα ἐξ ἐκδεδομένων καὶ ἀνεκδότων πηγῶν, ἀποκαταστήσας οὕτω τὸ ἔργον αὐτοῦ χρήσιμον τοῖς ἀσχολουμένοις περὶ τὴν ἱστορίαν τῶν ἐν τῇ διασπορᾷ Ἑβραίων καὶ περὶ τῆς σχέσεως τῶν ἐν Ζακύνθῳ τοιούτων πρὸς τοὺς χριστιανοὺς καὶ τὴν ἑνετικὴν δημοκρατίαν ἀπὸ τῆς ιδ' ἄχρι τῆς ιη' ἑκατονταετηρίδος.

Σπυρίδων-δὲ Βιάζης, Ἱστορικαὶ σημειώσεις περὶ σταφίδος ἐν Ἑπτανήσῳ καὶ ἰδίᾳ; ἐν Ζακύνθῳ [Παρνασσός 1893, τ. XV, σ. 925—935 τ. XVI, σ. 71—79, 146—158].—Τὴν πραγματείαν ταύτην συνιστῶμεν τοῖς ἀσχολουμένοις περὶ τὴν ἱστορίαν τοῦ ἐμπορίου κατά τε τὴν βυζαντινὴν καὶ τὴν μετέπειτα χρονικὴν περίοδον. Ὁ συγγραφεὺς ἤντλησε τὴν ὕλην τῆς μελέτης αὐτοῦ ἐκ βιβλίων οὐ κοινῶν καὶ τοπικῶν τινων ἀνεκδότων ἐγγράφων, ἐθίμων τε καὶ ποιημάτων δημωδῶν· συναρμολογήσας δ' ἐκείνην εὐμεθοδέστατα κατεσκεύασε πόνημα διδακτικώτατον ἱστορικὸν περί τε τῆς καλλιεργίας τῆς ἀμπέλου καὶ τῆς ἐμπορείας τοῦ προϊόντος αὐτῆς ἀπὸ τῆς ἀρχαιοτάτης ἄχρι τῆς ἡμετέρας ἐποχῆς· ἀναγράφει δὲ καταλεπτῶς καὶ τὰς πολυαρίθμους σημερινὰς ὀνομασίας σταφυλῶν ποικίλων εἰδῶν καὶ ποιοτήτων.

Ἀλέξανδρος Ε. Λαυριώτης, Ῥωμανοῦ τοῦ μελῳδοῦ κοντάκιον εἰς τὰ ἅγια φῶτα [Ἐκκλησιαστικὴ Ἀλήθεια, XII, 1893, σ. 385—384,

404].—Δημοσιεύει νομίσας τύποις ἀνέκδοτον τὸν εἰς τὰ ἅγια θεοφάνεια ὕμνον [Pitra, Analecta Spicilegio Solesmensi parata. Parisiis 1876, τ. I, σ. 16—23], ἀντιγράψας αὐτὸν ἐκ χειρογράφου παλαιοῦ τῆς μεγάλης Λαύρας· παρατίθεται δὲ καὶ γραφὰς ἑτέρου κώδικος διαφερούσας.

Ἀλέξανδρος Λαυριώτης, Περὶ διαφόρου γραφῆς τοῦ ἀκαθίστου ὕμνου ἐν ἀρχαίοις χειρογράφοις τῆς μ. Λαύρας [Ἐκκλησ. Ἀλήθεια, XII, 1893, σ. 395—396].—Καταγράφει διαφέροντα τοῦ ὕμνου τούτου ἀναγνώσματα, ὧν ὅμως τὰ πλειότερα γινώσκομεν ἐξ ἑτέρων ἀντιγράφων [Pitra, Analecta I, σ. 250—262]· ἀλλ' οὐχ ἧττον ἡ διατριβὴ τοῦ εὐλαβεστάτου μοναχοῦ Ἀλεξάνδρου χρησίμη ἐστὶ τοῖς ἀσχολουμένοις περὶ τὴν σύνταξιν καὶ τὴν ἱστορίαν τοῦ ὕμνου τούτου, διὰ τὴν ἐν τοῖς χειρογράφοις διαφορότητα τινῶν αὐτοῦ λέξεων.

Ἀλέξανδρος Λαυριώτης, Περὶ Ῥωμανοῦ τοῦ μελῳδοῦ [Ἐκκλ. Ἀλήθεια XII, 1893, σ. 255—256, 261—264].—Περιγράφει κώδικα τῆς Λαύρας μεμβράνινον, ἐν ᾧ σῴζονται κονδάκια τοῦ Ῥωμανοῦ· δημοσιεύει δὲ καὶ τὸ κείμενον τοῦ de mortuis ὕμνου [Pitra, Analecta I, σ. 44]. Περὶ τῆς ἐργασίας ταύτης τοῦ λογίου μοναχοῦ Ἀλεξάνδρου ὅρα τὰ παρ' ἐμοῦ γραφέντα παρατηρήματα [Byzantinische Zeitschrift II, σ. 604—605].

Ματθαῖος Παρανίκας, Περὶ Ῥωμανοῦ τοῦ μελῳδοῦ [Ἐκκλησ. Ἀλήθεια XII, 1893, σ. 287—288]. — Πραγματεύεται περὶ τοῦ μέτρου τοῦ de mortuis ὕμνου, ὅπερ ἐγένετο, λέγει, «ἐπὶ τῇ βάσει τονικῶν ποδῶν (καὶ) ἀνήκει εἰς τὰ λεγόμενα μονοστροφικά, συγκείμενα ἐκ συστημάτων ὁμοίων στίχων ἐπαναλαμβανομένων καὶ εἰς κατακλεῖδά τινα ληγόντων»· νομίζει δέ, ὅτι Σέργιος ὁ μελῳδὸς ἐποίησε τὸν ἀκάθιστον ὕμνον κατὰ μίμησιν πρωτοτύπου ποιήματος τοῦ Ῥωμανοῦ.

Εὐστάθιος Βουλισμᾶς, ἀρχιεπίσκοπος Κερκύρας: Περὶ ἐκκλησιαστικῶν μελῳδῶν [Ἐκκλησ. Ἀλήθ. XII, σ. 358—361]. — Ἐπικρίνει δημοσιεύματα Ματθαίου τοῦ Παρανίκα καὶ Ἀλεξάνδρου τοῦ Λαυριώτου περὶ τοῦ μελῳδοῦ Ῥωμανοῦ· μεθ' ὃ ἀποδείκνυσιν, ὅτι Κοσμᾶς Κλήμης καὶ Γεώργιος οἱ μελῳδοὶ οὐ μόνον ποιηταὶ κανόνων ἦσαν, ἀλλὰ καὶ οἴκων, καὶ ὅτι τῶν κανόνων ἡ ἐμφάνισις οὐκ ἀπέβαλε τοὺς οἴκους. Εἶτα δὲ γνωματεύει περὶ τῆς ἀποβολῆς τῆς δευτέρας ᾠδῆς, ὅτι δηλαδὴ ταύτης ἡ παράλειψις ἐκ τῶν ᾀσματικῶν κανόνων «ἤρξατο ἐπὶ Γεωργίου [τοῦ μελῳδοῦ], ὅστις ἄλλοτε ἐποίει δευτέραν ᾠδήν, καὶ ἄλλοτε ὄχι». Πρὸς τὴν γνώμην ταύτην ἀπεκρίθην ἐν ἄλλῳ τόπῳ κατ' ἔκτασιν, ἐν τῷ σχεδιάσματί μου περὶ τῶν Μηναίων, ἀποδείξας ὅτι ἡ τάσις πρὸς ἀποβολὴν τῆς δευτέρας ᾠδῆς ἐμφανίζεται τὸ πρῶτον ἀρξαμένη ἀπὸ τοῦ μέσου που τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, καὶ ὅτι ἐν τοῖς ἐκκλησιαστικοῖς βιβλίοις τοῖς διατεταγμένοις ἐν Κωνσταντινουπόλει παντελῶς ἀπερρίφθη τῇ μεθεπομένῃ ἑκατονταετηρίδι. Προσοχῆς ἄξιον ὡσαύτως, ὅτι ὁ σεβασμιώτατος ἀρχιεπίσκοπος Εὐστάθιος ἀποδείκνυσι τὸν κανόνα τοῦ ἁγίου εὐχελαίου ποίημα εἶναι οὐχί, καθὼς ἐλέγετο, Ἀρσενίου τοῦ μητροπολίτου Κερκύρας, ἀλλ' Ἀρσενίου τοῦ Αὐτωρειανοῦ, πατριάρχου Κωνσταντινουπόλεως· ἀπέδειξε δὲ τοῦτο διὰ παλαιοῦ κώδικος, ὃν αὐτὸς ὁ Εὐστάθιος ἔχει· ἐν τούτῳ γὰρ ὑπάρχει διάταξις Νικηφόρου Κωνσταντινουπόλεως [1260],

ῥητῶς μαρτυροῦσα, ὅτι ὁ Αὐτωρειανὸς ἐκανόνισε τὴν ἀκολουθίαν τοῦ εὐχελαίου· περὶ ἄλλου δέ τινος Ἀρσενίου ποιητοῦ, ὃν ἀνεκάλυψεν ἔν τισιν οἴκοις τοῦ Μοσχοβιτικοῦ κονδακαρίου—σῴζουσι γὰρ οὗτοι λείψανον ἀκροστιχίδος ἐκ τῆς συλλαβῆς ΑΡ ἢ ΑΡΣ ἀρχομένης —, οὐδὲν ἐκφράζεται φανερῶς [ὅρα Снимки изъ кондакарія XII — XIII вѣка, сдѣланіе архимандритомъ Амфилохіемъ въ ͵αωοθ′ году. Москва, σ. 80—81, 104—106, 116—117]· πάντως ὅμως, ὡς ἐγὼ νομίζω, Ἀρσένιος οὗτός ἐστιν Ἀρσένιος ποιητὴς ὁ μοναχός, ὁ κατόπιν ἡγιασμένος μητροπολίτης Κερκύρας. Προσοχῆς ὡσαύτως ἄξιον καὶ τοῦτο τὸ παρατήρημα τοῦ ἀρχιεπισκόπου Εὐσταθίου [σ. 359], ὅτι «ἁπανταχοῦ (νῦν) τῆς ὀρθοδοξίας, ἔνθα δὲν μετεβλήθησαν αἱ ἐν τῷ Εὐχολογίῳ νεκρώσιμοι ἀκολουθίαι, τὰ μὲν ἄλλα τροπάρια, προσόμοια, ἰδιόμελα, ἀντίφωνα καὶ λοιπά, ψάλλονται· καὶ αὐτὸ τὸ νεκρώσιμον κοντάκιον ψάλλεται ἀργῶς καὶ μετὰ μέλους· οἱ οἶκοι ὅμως ἀναγινώσκονται βραδέως, ἢ ὑπὸ ἑνὸς μόνον ἐν τῷ μέσῳ τοῦ ναοῦ ἱσταμένου, ἢ ὑπὸ τῶν ἱερέων, ἢ καὶ ἀρχιερέως χοροστατοῦντος, ἀλλ' οὐδέποτε ψάλλονται· μόνον τὰ ἀλληλούια παρὰ πάντων ψάλλονται κατανυκτικώτατα, κατὰ τὸ ἔθος τῆς ἀρχαιοτάτης ἐποχῆς τῆς ἐκκλησίας ὡς ἐφύμνιον, καθὼς γίνεται καθ' ἑκάστην ἡμέραν εἰς τὴν ἀκολουθίαν τοῦ ὄρθρου. Τὸ κοντάκιον καὶ ὁ οἶκος ἔχουσι τὸ αὐτὸ ἐφύμνιον· ὁ δὲ ἀναγνώστης, ὅταν φθάσῃ εἰς τὸ ἐφύμνιον, ὑψώνει τὴν φωνήν, οἱ δὲ ψάλται καὶ οἱ περὶ αὐτὸν ἐπαναλαμβάνουσι τοῦτο ᾀσματικῶς. Καὶ τρανὴ μὲν ἀπόδειξις ὅτι μόνον τὰ ἀκροτελεύτια τῶν οἴκων ἐψάλλοντο (ἐξ ἀρχῆς), εἶναι καὶ ὁ τρόπος καθ' ὃν λέγεται τὸ Ἄγγελος πρωτοστάτης· Τὸ πονομοιοτύπως λιθογραφηθὲν κονδακάριον τοῦ Ἀμφιλοχίου, μετὰ τὸ τέλος τῶν οἴκων τῆς ἑορτῆς τῶν φώτων, ἔχει τονισμένον μὲ μουσικὰ σημεῖα μόνον τὸ Ἦλθες ἐφάνης τὸ φῶς τὸ ἀπρόσιτον». Οὕτως ὁ σεβασμιώτατος ἀρχιεπίσκοπος ἀποδείκνυσιν, ὅτι ὁ μετὰ τὸ κονδάκιον οἶκος, ὁ ἀριθμῶν ἐν τοῖς κώδιξι πολυαρίθμους στροφὰς καὶ τὴν ἀκροστιχίδα τοῦ ποιήματος ἀποτελῶν, οὐκ ἦν ἐξ ἀρχῆς ὡρισμένος ἵνα ψάλληται, ἀλλ' ἵνα μόνον ἀναγινώσκηται, βεβαίως δὲ χύμα μέχρι τοῦ Ἀλληλούια.

Ματθαῖος Παρανίκας, Τὸ Τριῴδιον [Ἐκκλησ. Ἀλήθεια, XIII, 1893, σ. 7—8]. — Συγκρίνει πρὸς τὴν ἐνετικὴν ἔκδοσιν τοῦ Τριῳδίου κώδικα τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὃν ἔχει τῆς θεολογικῆς ἐν Χάλκῃ σχολῆς ἡ βιβλιοθήκη· ἔχει δ' ὁ κῶδιξ οὗτος, κατὰ τὴν ἔρευναν τοῦ Παρανίκα, διαφορὰς ἀξιολόγους ἐν τῇ διατάξει τῶν ᾀσμάτων.

Ἀλέξανδρος Λαυριώτης, Ἐξήγησις τοῦ ἀπολυτικίου τῆς ἁγίας Παρασκευῆς [Ἐκκλησ. Ἀληθ. XII, 1892, σ. 214—216]. — Δημοσιεύει κατά τινα κώδικα τῆς Λαύρας ἐπιστολιμαίαν διατριβὴν Νεοφύτου ἱεροδιακόνου Καυσοκαλυβίτου τοῦ ἐξ Ἰουδαίων [ὅρα Κ. Σάθα, Νεοελ. Φιλολογ. σ. 510—512] περὶ τοῦ ἀπολυτικίου, οὗ ἡ ἀρχή· «Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον ἐργασαμένη φερώνυμε» κτλ. Δεύτερον ἀντίγραφον τῆς αὐτῆς διατριβῆς ἔχει τοῦ πατριαρχείου τῶν Ἱεροσολύμων ἡ βιβλιοθήκη [Ἱεροσολ. Βιβλιοθ. I, σ. 401].

Ἐλευθέριος Ταπεινός, Ἐκκλησιαστικὴ ἱστορία τῆς ἐπαρχίας Μελενίκου [Ἐκκλησ. Ἀληθ. XII, σ. 143—144, 151—152]. — Μέρος

ἀξιολογωτάτης πραγματείας, ἣν ἐγὼ συνίστημι καθὰ παράδειγμα τοῖς ἐθέλουσιν ἱστορεῖν τὰς κατὰ τόπους ἐπισκοπὰς καὶ μητροπόλεις.

Ματθαῖος Παρανίκας, Ὁ ἀκάθιστος ὕμνος [Ἐκκλησ. Ἀλήθ. XIII, 1893, σ. 44—46].—Δημοσιεύει τὸ κείμενον αὐτοῦ κατὰ μέτρον εἰς 314 στίχους, ἀντιγράψας τὸν ὕμνον αὐτὸν ἐκ χειρογράφου τριῳδίου τῆς θεολογικῆς ἐν Χάλκῃ σχολῆς· παρατίθεται δὲ καὶ διάφορα τοῦ ὕμνου ἀναγνώσματα καί τινας παρατηρήσεις ἱστορικὰς διά τινας αὐτοῦ στίχους· οὐδεμίαν δὲ τῶν περὶ τοῦ ὕμνου τούτου παλαιοτέρων μελετῶν ἔλαβεν ὁ συγγραφεὺς ὑπ' ὄψει.

Ἀλέξανδρος Λαυριώτης, Λειτουργικὰ καὶ διάφορα ἱστορικὰ ἐξ ἐγγράφων τῆς ἐν Ἄθῳ ἱερᾶς μονῆς μ. Λαύρας [Ἐκκλησ. Ἀλήθ. XIII, 1893, σ. 170—172].—Δημοσιεύει περικοπὴν διακονικοῦ χειρογράφου βιβλίου, ἐν ᾗ λειτουργικαὶ ἱκεσίαι ὑπάρχουσιν ὑπὲρ Ἀνδρονίκου καὶ Εἰρήνης αὐτοκρατόρων καὶ ὑπὲρ τῶν πατριαρχῶν Ἰωάννου Κ/πόλεως, Γρηγορίου Ἀλεξανδρείας, Διονυσίου Ἀντιοχείας καὶ Ἀθανασίου Ἱεροσολύμων. Εἶτα λέγει, ὅτι ἡ Λαύρα ἔχει περὶ τὰ πεντήκοντα λειτουργικὰ εἰλητάρια, ὧν ἓν τῆς δεκάτης ἑκατονταετηρίδος, ἐπειδὴ ἐν τούτῳ μνημονεύεται Πολύευκτος ὁ οἰκουμενικὸς πατριάρχης· παρατίθεται δὲ κατόπιν ἔγγραφον τοῦ οἰκουμενικοῦ πατριάρχου Νήφωνος καὶ ἀπόκρισιν Διονυσίου Βυζαντίου πρὸς μέγα μήνυμα, δι' οὗ πατριάρχης ὁ Διονύσιος οἰκουμενικὸς ἐκλήθη τῇ 7-ῃ νοεμβρίου ἔτους 1671-ου.

Ἀλέξανδρος Λαυριώτης, Λόγιοι Ἁγιορεῖται [Ἐκλησ. Ἀλήθ. XIII, 1893, σ. 180—182: Κοσμᾶς Λαυριώτης.—Αὐτόθι σ. 197: Ἰωάννης Ναθαναήλ.— Αὐτ. σ. 206—207: Εὐθύμιος Λαυριώτης.—Αὐτ. σ. 229: Ὁ ὅσιος Ἀθανάσιος ὁ κτίτωρ τῆς Λαύρας]. — Περὶ τοῦ Κοσμᾶ Λαυριώτου λέγει, ὅτι ἐγεννήθη ἔτει 1697-ῳ καὶ ὅτι ἵδρυσεν ἐν τῇ Λαύρᾳ τυπογραφεῖον, οὗ τὸ πρῶτον ἐκτυπωθὲν βιβλίον οὕτως ἐπιγράφεται: «Ἐκλογὴ τοῦ Ψαλτηρίου παντὸς εἴς τε δοξολογίαν καὶ εὐχήν. Συλλεγεῖσα μὲν παρὰ τοῦ λογιωτάτου διδασκάλου κυρίου Νεοφύτου τοῦ ἐξ Ἑβραίων. Ἀφιερωθεῖσα δὲ τῷ ὁσίῳ Πατρὶ ἡμῶν Ἀθανασίῳ τῷ ἐν τῷ Ἄθῳ. Νῦν πρῶτον τύποις ἐκδοθεῖσα, συνδρομῇ καὶ δαπάνῃ τοῦ πανοσιωτάτου ἀρχιμανδρίτου τῆς Μ. Λαύρας κυρίου Κοσμᾶ Ἐπιδαυρίου. Ἐν Ἁγίῳ ὄρει Ἄθω 1759». Θανόντος τοῦ Κοσμᾶ συναπέθανε καὶ τὸ τυπογραφεῖον, ὅπερ οὐδὲν ἕτερον βιβλίον ἐκτὸς τῆς Ἐκλογῆς ἐκείνης ἐξετύπωσε, κατὰ τὸν Ἀλέξανδρον· ἐγὼ ὅμως ἐν Ἱεροσολύμοις εἶδον φύλλα τινὰ μεμονωμένα γραμματικῆς ἐκτετυπωμένης, ἧς ὁ τύπος παραβληθεὶς πρὸς ἕτερα βιβλία ἐν Ἀνατολῇ τετυπωμένα κατὰ τὸν ιη' αἰῶνα, μονομερὴς ἐφαίνετό μοι, καὶ κατ' ἐμαυτὸν ἔλεγον ὅτι τὸ βιβλίον πιθανῶς ἐν Ἁγίῳ Ὄρει ἐτυπώθη, διδάσκοντος ἐκεῖ Εὐγενίου τοῦ Βουλγάρεως. Νῦν οὖν διὰ τὸ εὕρεμα τοῦ μοναχοῦ Ἀλεξάνδρου πιστεύω, ὅτι πλὴν τῆς ἐκλογῆς ἐξετύπωσε τὸ λαυρεωτικὸν τυπογραφεῖον καὶ τὴν γραμματικὴν ἐκείνην, ἴσως δὲ καὶ ἕτερά τινα.—Κατόπιν ὁ Ἀλέξανδρος δημοσιεύει μετάφρασιν ἑλληνικὴν οὐκαζίου Ἰωάννου καὶ Πέτρου Ἀλεξιάδου, Ῥώσων αὐτοκρατόρων, δι' οὗ ἀνανεοῦται τὸ παρὰ τοῦ πατρὸς αὐτῶν ἔτει 1658-ῳ δοθὲν δι' οὐκαζίου δικαίωμα τοῦ στέλλεσθαι κατὰ τετραετίαν εἰς Μόσχαν ἐκ τῆς Λαύρας μοναχόν τινα πρὸς συλλογὴν ἐλεῶν ἐν Ῥωσίᾳ.

Ἀλέξανδρος Λαυριώτης, Περὶ τοῦ λευκοῦ καὶ πορφυροῦ χρώ-

ματος [Ἐκκλησ. Ἀλήθ. XIII, 1893, σ. 124—126].—Παρατίθεται μαρτυρίας πρὸς ἀπόδειξιν, ὅτι τῆς ἐκκλησίας οἱ πατέρες ὥρισαν ταῦτα μόνα τὰ χρώματα διὰ τὴν κατασκευὴν ἱερατικῶν ἀμφίων· καὶ τὸ μὲν λευκὸν χρῶμα καθωρίσθη διὰ τὰς τελετὰς τῶν χαρμοσύνων ἑορτῶν, τὸ δὲ πορφυροῦν διὰ τὰς τελετὰς τὰς γιγνομένας εἰς ἀνάμνησιν τῶν παθῶν τῶν Χριστοῦ.

Ἰάκωβος Βασιάδης, Περὶ τῆς λέξεως σιγίλλιον [Ἐκκλησ. Ἀλήθ. XIII, 1893, σ. 116—117].—Πραγματεύεται τὰ κατ' αὐτὴν ἄνευ τῶν ἀναγκαιουσῶν μαρτυριῶν· τὸ ἄρθρον φαίνεται καλὸν ὂν ἐκ λεξικοῦ τινος ἐράνισμα· προστίθησιν ὅμως τοῦτο, ὅτι σήμερον σφραγιδοφύλαξ τοῦ Οἰκουμενικοῦ Πατριαχείου διάκονός τίς ἐστιν, ὁ δευτερεύων ὀνομαζόμενος, καὶ ὅτι τούτου ἔργον τὸ σφραγίζειν ἔξωθεν τὰ ἐκ τοῦ πατριαρχικοῦ γραφείου ἐξερχόμενα ἔγγραφα· αἱ δὲ λοιπαὶ πατριαρχικαὶ σφραγῖδες καὶ τὰ ἄλλα πατριαρχικὰ σήματα φυλάττονται ἐν τῷ πρωτοκόλλῳ τοῦ πατριαρχείου καὶ ἐν τῷ τουρκικῷ τούτου γραφείῳ.

Ἀλέξανδρος Λαυριώτης, Ἀνέκδοτα σιγίλλια [Ἐκκλησ. Ἀλήθ. XII, 1893].—Ἅπαντα πατριαρχῶν τῆς Κωνσταντινουπόλεως. α') Νικολάου Χρυσοβέργη πατριάρχου [σ. 386] περὶ τοῦ Γομάτου, μοναστηρίου, τοῦ καὶ Ὀρφανοῦ καλουμένου, ἀφιερωμένου δὲ τῇ Θεοτόκῳ καὶ κειμένου «ἐν τῷ θέματι τῆς Θεσσαλονίκης, ὑπὸ τὸ κάστρον τῆς Ἐρισσοῦ· συνεγγίζει δὲ καὶ τῷ ὄρει τοῦ Ἄθω» [ἔτους 989]. β') σ. 380. Συνοδικὴ διάγνωσις ἐπὶ Ἀντωνίου πατριάρχου περί τινος εἰκόνος ἐν τῇ λαύρᾳ τῆς Θεοτόκου τῆς Σερβουνιωτίσσης, ἥτις εὑρίσκετο πρότερον ἐν Λήμνῳ τῇ νήσῳ, παρὰ τῇ οἰκογενείᾳ Κονδύλη. Φαίνεταί μοι Ἀντώνιος οὗτος ὢν ὁ τέταρτος. γ') σ. 371—372. Σιγιλλιῶδες γράμμα Ἱερεμίου β', ὃ συνυπεγράψατο Σίλβεστρος ὁ Ἀλεξανδρείας, κυροῦν τὴν ἔμπροσθεν τούτου παραδεκτὴν ὑπὸ τοῦ Βατοπεδινῶν γενομένην κοινοβιακὴν τάξιν· ἐγράφη δ' ἔτει 1573-ῳ καὶ συνυπεγράφη ὑπὸ 14 ἀρχιερέων, ὧν τὰ ὀνόματα διὰ τὸ δυσανάγνωστον ἴσως ὁ ἐκδότης οὐκ ἐφανέρωσε. δ') σ. 363. Σιγιλλιῶδες γράμμα τοῦ αὐτοῦ Ἱερεμίου, κατακυροῦν τὴν διὰ τοῦ Σιλβέστρου ἐπανελθοῦσαν κοινοβιακὴν τάξιν ἐν τῇ Λαύρᾳ· ἔτους 1573-ου. ε') σ. 356. Συνοδικὸν γράμμα τοῦ αὐτοῦ Ἱερεμίου, γραφὲν ἐν Θεσσαλονίκῃ, περὶ τοῦ κοινοβίου τῆς Λαύρας· ἔτους 1574-ου, μηνὸς ἰουνίου. ϛ') σ. 347—348. Κυρίλλου τοῦ Λουκάρεως σιγιλλιῶδες γράμμα συνοδικόν, κυροῦν προγενέστερα σιγίλλια περὶ τῶν ἐν τῇ νήσῳ Λήμνῳ ἐξωκλησίων τῆς Λαύρας· κατ' ἀπρίλιον ἔτους 1632-ου. ζ') σ. 320—321. Σιγιλλιώδης γραφὴ Μητροφάνους γ', κυροῦσα τὰ τῇ Λαύρᾳ προσήκοντα μονύδρια, τὰ ἐν Λήμνῳ· κατ' ἀπρίλιον ἔτους 1565 ου. η') Αὐτόθι. Τιμοθέου β' σιγίλλιον περὶ τῶν ἐν τῇ ἐπαρχίᾳ Σερρῶν, πλησίον Ἔζοβας, κτημάτων τῆς μονῆς Σταυρονικήτα· κατὰ μῆνα ἰούλιον ἔτους 1614-ου. Συνυπεγράψαντο τοῦτο δύο πατριάρχαι ἑτέρων θρόνων, δύο αὐτοκέφαλοι ἀρχιεπίσκοποι, οἷον ὁ Ἀχριδῶν Μητροφάνης, καὶ 36 ἀρχιερεῖς καὶ κληρικοί. θ') Αὐτόθι ἕτερον τοῦ αὐτοῦ Τιμοθέου περὶ τῶν ἐν Λήμνῳ μονυδρίων τῆς Λαύρας, ἔτους 1615-ου. ι') σ. 230—231. Σιγίλλιον συνοδικὸν Κυρίλλου τοῦ Λουκάρεως περὶ τῶν προνομίων τῆς Λαύρας, 20-ῇ μαΐου, ἔτους 1621. ια') τόμ. XIII, 1893, σ. 56. Συνοδικὴ ἀπόφασις Παϊσίου καταναγκάζουσα τοὺς ἐν Ἁγίῳ Ὄρει πνευματικοὺς πατέρας λαμβάνειν τὴν πρὸς τὸ ἐξομολογεῖν ἄδειαν ἐξ αὐτοῦ τοῦ οἰκουμενικοῦ πατριάρχου· ἔτει 1727-ῳ. ιβ') τ. XIII, σ. 62—

63. Συνοδικὴ ἀπόφασις Γαβριὴλ πατριάρχου, διῃρημένη εἰς κεφάλαια ιδ' καὶ καθορίζουσα τὰ καθήκοντα τῆς Κοινότητος τοῦ Ἁγίου Ὄρους ἔτει 1783-ῳ.

Α. Παπαδόπουλος-Κεραμεύς.

## РОССІЯ.

**А. Дмитріевскаго,** *Патмосскіе очерки.* Изъ поѣздки на островъ Патмосъ лѣтомъ 1891 года. Съ двумя фотографическими снимками. Кіевъ 1894. 8°. IV + 309 + II стр. Цѣна 2 р. 50 к. (Изъ Трудовъ Кіевской Духовной Акад. 1892, 1893 и 1894 г.г.).—Въ настоящей статьѣ неутомимый А. А. Дмитріевскій представляетъ рядъ очерковъ съ о. Патмоса, на которомъ онъ провелъ нѣсколько времени для ученыхъ занятій. Въ первой статьѣ (стр. 1—94) авторъ даетъ намъ общій очеркъ о. Патмоса, затѣмъ подробно говоритъ о монастырѣ св. Іоанна Богослова, его прошломъ, его сношеніяхъ съ Россіей и его организаціи по сравненію съ святогорскими монастырями идіоритмами. Второй очеркъ (стр. 94—108) посвященъ описанію гроты Апокалипсиса на островѣ. Въ третьемъ очеркѣ (стр. 108—168) авторъ говоритъ подробно о дѣятельности знаменитой Патмосской Академіи въ XVIII в. Четвертый очеркъ (стр. 168—223) посвященъ описанію важнѣйшихъ храмовъ на о. Патмосѣ, ихъ украшеній и богатствъ скевофилакій Іоанно-богословскаго монастыря. Въ пятомъ очеркѣ (стр. 223—243) представлено описаніе 28 греческихъ рукописей типикарницы Іоанно-богословскаго монастыря. Всѣ эти рукописи не встрѣчаются въ каталогѣ Саккеліона «Πατμιακὴ βιβλιοθήκη» Ἀθήν. 1890, онѣ всѣ бумажныя и необходимы въ обители для современной церковно-богословской практики. Онѣ важны потому, что въ нихъ мы находимъ многіе чины, послѣдованія, обряды и молитвы, которые нигдѣ на православномъ востокѣ не имѣютъ мѣста въ церковно-богослужебной практикѣ, а потому составляютъ исключительную принадлежность богослуженія даннаго времени. Въ шестомъ очеркѣ (стр. 244—282) описываются нравы и обычаи патмосскихъ обитателей. Наконецъ, въ седьмомъ очеркѣ (стр. 283—309) авторъ сообщаетъ дополненія къ предшествовавшимъ очеркамъ изъ рукописи библіотеки метоха св. Гроба въ Константинополѣ подъ № 567 (495), наполненной письмами патмосскихъ дидаскаловъ Макарія, Герасима и др., и изъ инвентаря патмосской скевофилакіи и библіотеки 1201 г., изданнаго французскимъ ученымъ Ш. Дилемъ.

**И. Созоновича,** *Ленора Бюргера* и родственные ей сюжеты въ народной поэзіи, европейской и русской. Варшава 1893. 8°. VII + 251. См. рецензіи: Wilhelm Wollner въ Byzant. Zeitschr. III (1894), 1, стр. 175—181. *Пр. Д.* въ Живой Старинѣ III (1893), 3, стр. 405—408. А. К-овъ въ Историч. Вѣстн. 1893, III, сентябрь, стр. 799—803. — Авторъ еще въ 1886 г., когда печаталъ свою работу «Пѣсни о дѣвушкѣ-воинѣ и былины о Ставрѣ Годиновичѣ», намѣтилъ себѣ кругъ сказаній, заинтересовавшихъ его своей широкой популярностью въ устно-поэти-